www.e-rara.ch

# Demosthenis et Aeschinis principum Graeciae oratorum opera

## Demosthenes

## Basileae, [1571-]1572

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-98668

[Demosthenis In Onetorem Oratio Secunda, Hieronymo Wolfio interprete]

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

recepisse ad se pecuniã ex ædibus Aphobi, & tum illius, tum mea omnia in sua potestate habere, & mulierem manere apud Aphobum, sciebam: tres ancillas ab eo postulaui, quæ & matremfamiliâs esse mulierem, & pecuniam penes istos esse norant: vt nõ verba modo, sed quæstiones etiã de re haberentur. Quæ cum ei sic denunciasse, & qui aderant omnes, æquum postulare me pronunciarent: ad hanc confugere probationem noluit: sed perinde ac si talibus in negocijs aliæ probationes essẽt quæstionibus & testibus euidentiores, neq; testibus adductis de numerata dote, neq; in quæstionem datis ancillis, de sororis matrimonio conscijs: me, qui hæc ab eo postulabã, superbè omnino & cõtumeliosè à colloquio suo repulit. Quid isto fieri posset homine iniquius? quis magis de industria se ignarũ esse æqui boniq; simularet? Cape prouocationem, & recita.

PROVOCATIO.

Locus cõmunis pro quæstionibus contra testes.

Vos autem & priuatim, & publicè quæstionibus summã fidem habetis: & cum serui & ingenui adsunt in explicanda controuersia non vtimini testimonijs ingenuorum: sed ita rerum gestarum veritatem exquiritis, vt seruos torqueatis. Nec iniuria, Iudices. Nam aliquoties testium aliquos, falsa testificari compertum est: nulli verò serui subiecti quæstionibus, vnquam in tormentis mendacij comperti sunt. Iste verò tot iura aspernatus, adeoq; perspicuis & magnis probationibus prætermissis: Aphobum testem adducendo, & Timocratem, hunc de data, illum de accepta dote, sibi fidẽ haberi à vobis postulabit, rem cum istis absq; testibus transactam fingens. Tantæ vos vecordiæ damnat. Eos igitur neq; vera, neque verisimilia dicturos, tum è prima eorum confessione de dote non reddita, tum ex affirmatione de eadem sine testibus reddita: tum ex ipso tempore, quod, in discrimen iam adducta re familiari, solutionem fieri non siuit, tum è cæteris rebus omnibus, satis à me ostensum esse existimo.

## ARGVMENTVM ADVERSVS ONETOREM, vnde vi, secundæ Orationis.

Prætermissa quædam superiore oratione, hac adijcit, vt ipse significat, atque etiam quasdam rationes aduersarias diluit. De his autem orationibus antè diximus affirmare multos, eas ab Isæo esse compositas, quòd huius oratoris esse propter ætatem credere nequeant: alios, vt hoc non sit, ab Isæo saltem esse correctas, quòd illius orationibus similes videantur. Neque verò mirum est, eum imitatum esse magistrum, & cum nondum perfectionẽ esset adeptus, ad illius interea dicendi genus se contulisse.

# DEMOSTHENIS IN ONETOREM ORATIO SECVNDA, Hieronymo Vuolfio interprete.

Autoritatẽ aduersarij leuari inconstãtia, ostendit.

QVOD in priore oratione argumentum præterij, vnde non minus quàm ex vllo eorum quæ dixi, constet, non datam esse dotem ab istis Aphobo: eo primùm exposito, mox etiam mendacia istius, dicta apud vos, refutare aggrediar. Iste, Iudices, primùm postquam de bonis Aphobi controuersiam mouere instituit, non talentum se doti, vt nunc, sed octoginta minas dedisse dixit: easq; ita distribuit,

A τοῦτον εὐθὺς ἀποδεδεγμένον τὰ ἐκ τῆς οἰκίας τῆς Ἀφόβου χρήματα, καὶ κύριον τῶν τ' ἐκείνου καὶ τῶν ἐμῶν ἁπάντων γεγενημένον, καὶ συνοικοῦσαν αὐτῷ τὴν γυναῖκα σαφῶς ἐπιστάμενος, τρεῖς θεραπαίνας ἐξήτησα αὐτόν, αἳ συνοικοῦσαί τε τὴν γυναῖκα ᾔδεσαν, καὶ τὰ χρήματα ὅτι παρὰ τούτοις ἦν· ἵνα μὴ λόγοι μόνον, ἀλλὰ καὶ βάσανοι γίγνοιντο περὶ αὐτῶν. οὕτω δέ μου προκαλεσαμένου ταῦτα, καὶ πάντων τῶν παρόντων δίκαια λέγειν με ἀποφαινομένων· οὐκ ἠθέλησεν εἰς τοῦτο τὸ ἀκριβὲς καταφυγεῖν· ἀλλ' ὥσπερ ἑτέρων τινῶν ὄντων περὶ τῶν τοιούτων σαφεστέρων ἐλέγχων ἢ βασάνων καὶ μαρτύρων, οὔτε μάρτυρα παρεχόμενος τὴν προῖκα ὡς ἀποδέδωκεν, οὔτ' εἰς βασάνους ἐκδιδοὺς τὰς συνειδυίας περὶ τοῦ συνοικεῖν τὴν ἀδελφήν· ὅτι ταῦτα ἠξίουν, ὑβριστικῶς πάνυ καὶ προπηλακιστικῶς οὐκ εἴα με αὐτῷ διαλέγεσθαι. τούτου γένοιτ' ἂν ἄλλος σχετλιώτερος ἄνθρωπος, ἢ μᾶλλον ἑκὼν τὰ δίκαια ἀγνοεῖν προσποιούμενος; λαβὲ ταύτην τὴν πρόκλησιν, καὶ ἀναγίγνωσκε.

Πρόκλησις.

Ὑμεῖς τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον ἀκριβεστάτην πασῶν νομίζετε. καὶ ὁπόταν δοῦλοι καὶ ἐλεύθεροι παραγένωνται, δέῃ δὲ εὑρεθῆναι τὸ ζητούμενον, οὐ χρῆσθε B ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες οὕτω ζητεῖτε τὴν ἀλήθειαν εὑρεῖν τῶν πεπραγμένων, εἰκότως, ὦ ἄνδρες δικασταί. τῶν γὰρ μαρτυρησάντων ἤδη τινὲς οὐ τἀληθῆ μαρτυρῆσαι ἔδοξαν· δούλων δὲ βασανισθέντων οὐδένες πώποτ' ἐξηλέγχθησαν, ὡς οὐκ ἀληθῆ τὰ ἐκ τῆς βασάνου εἶπον. οὗτος δὲ τηλικαῦτα δίκαια φυγών, καὶ σαφεῖς οὕτω καὶ μεγάλους ἐλέγχους παραλιπών, Ἄφοβον παρεχόμενος μάρτυρα καὶ Τιμοκράτην, τὸν μὲν ὡς ἀποδέδωκε τὴν προῖκα, τὸν δ' ὡς ἀπείληφεν, ἀξιώσει πιστεύεσθαι παρ' ὑμῖν, ἀμάρτυρον τὴν πρὸς τούτους πρᾶξιν γεγενῆσθαι προσποιούμενος· ποίαν τὴν ὑμῶν εὐήθειαν κατέγνωκεν. ὅτι μὲν οὔτ' ἀληθῆ, οὔτ' ἀληθείᾳ ἐοικότα λέξουσι, καὶ ἐκ τοῦ ἐξ ἀρχῆς αὐτοὺς ὁμολογεῖν τὴν προῖκα μὴ δοῦναι, καὶ ἐκ τοῦ πάλιν ἄνευ μαρτύρων ἀποδεδωκέναι φάσκειν, καὶ ἐκ τοῦ τὸν χρόνον μὴ ἐγχωρεῖν, ἀμφισβητουμένης ἤδη τῆς οὐσίας ἀποδοῦναι περίεργον, καὶ ἐκ τῶν ἄλλων ἁπάντων, ἱκανῶς ἀποδεδεῖχθαί μοι νομίζω.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΟΝΗΤΟΡΑ ἐξούλης δευτέρου λόγου.

C Παραλελειμμένα τινὰ ἐν τῷ προτέρῳ λόγῳ διὰ τούτου προστίθησιν, ὡς καὶ αὐτὸς ἐπισημαίνεται. καὶ δὴ καὶ πρός τινας ἀντιρρήσεις ἵσταται. περὶ δὲ τῶν λόγων τούτων προειρήκαμεν, ὅτι πολλοί φασιν αὐτοὺς ὑπὸ Ἰσαίου συντεθῆναι, τοῦ ῥήτορος ἀπιστοῦντες διὰ τὴν ἡλικίαν· οἱ δέ γε εἰ μὴ τοῦτο, διορθωθῆναί γε ὑπὸ τοῦ Ἰσαίου· ἐοίκασι γὰρ τοῖς ἐκείνου λόγοις. θαυμαστὸν δὲ οὐδέν, εἰ τὸν διδάσκαλον ἐμιμήσατο, καὶ μηδέπω πρὸς τὸ τέλειον ἥκων, ἐπὶ τὸν ἐκείνου χαρακτῆρα μετῄει τέως.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΤΑ ΟΝΗΤΟΡΟΣ ΛΟΓΟΣ δεύτερος.

Ὃ παρέλιπον ἐν τῷ προτέρῳ λόγῳ τεκμήριον, οὐδενὸς τῶν εἰρημένων ἔλαττον, τοῦ μὴ δεδωκέναι τὴν προῖκα τούτους Ἀφόβῳ· τοῦτο πρῶτον εἰπών, μετὰ τοῦτο καὶ περὶ ὧν οὗτος ἐψεύσατο πρὸς ὑμᾶς, ἐξελέγχειν αὐτὸν πειράσομαι. οὗτος γάρ, ὦ ἄνδρες δικασταί, τὸ πρῶτον ὅτε τὴν Ἀφόβου διενοεῖτο ἀμφισβητεῖν, οὐχὶ τάλαντον ἔφη τὴν προῖκα ὥσπερ νυνί, ἀλλ' ὀγδοήκοντα μνᾶς δεδωκέναι, καὶ τίθησιν

ὅρους

